πῶς εὐημέρησαν ἐπὶ βήματος ἢ προσηγορεύθησαν ὑπὸ τοῦ βασιλέως ἢ τῶν ἄλλων περιπεσόντων χειμῶσιν ἢ λῃσταῖς αὐτοὶ διέφυγον τὸν κίνδυνον, ἡδέως ἐρωτῶνται πολλάκις καὶ τρόπον τινὰ τῷ λόγῳ τοῦ πράγματος ἀπολαύοντες ἀπλήστως ἔχουσι τοῦ διηγεῖσθαι καὶ μνημο-
631 νεύειν. | χαίρουσι δὲ καὶ περὶ φίλων εὐτυχούντων ἐρωτώμενοι καὶ περὶ παίδων προκοπτόντων ἐν μαθήμασιν ⟨ἢ⟩ συνηγορίαις ἢ φιλίαις βασιλέων. ἐχθρῶν δὲ καὶ δυσμενῶν ὀνείδη καὶ βλάβας καὶ καταδίκας ἐξελεγχθέντων καὶ σφαλέντων ἥδιον ἐρωτώμενοι καὶ προθυμότερον ἐξαγγέλλουσιν· αὐτοὶ δ' ἀφ' αὑτῶν ὀκνοῦσι φυλαττόμενοι δόξαν ἐπιχαιρεκακίας. ἥδιον δὲ καὶ περὶ κυνῶν ἄνδρα θηρευτικὸν ἐρωτᾶν καὶ φιλαθλητὴν περὶ γυμνικῶν ἀγώνων καὶ περὶ καλῶν ἐρωτικόν. ὁ δ' εὐσεβὴς καὶ φιλοθύτης, διηγηματικὸς ὀνείρων καὶ ὅσα χρησάμενος ἢ φήμαις ἢ ἱεροῖς [ἢ] θεῶν εὐμενείᾳ κατώρθωσεν, ἡδέως ἂν καὶ περὶ
B τούτων ἐρωτῷτο. τοῖς δὲ πρεσβύταις, κἂν μηδὲν ᾖ διήγησις ᾗ προσήκουσα, πάντως οἱ ἐρωτῶντες χαρίζονται καὶ κινοῦσι βουλομένους. (γ 247)

'ὦ Νέστορ Νηληιάδη, σὺ δ' ἀληθὲς ἐνίσπες,

πῶς ἔθαν' Ἀτρείδης; ποῦ Μενέλαος ἔην; ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιικοῦ;' πολλ' ἐρωτῶν ἅμα καὶ πολλῶν λόγων ἀφορμὰς προιέμενος, οὐχ ὥσπερ ἔνιοι συστέλλοντες εἰς τὸ ἀναγκαῖον αὐτὸ καὶ συνελαύνοντες τὰς ἀποκρίσεις ἀφαιροῦνται τῆς γεροντικῆς διατριβῆς τὸ ἥδιστον. ὅλως δ' οἱ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/52 UNIVERSITÄT LEIPZIG